# TEZAUR LITURGIC

## 11 OCTOMBRIE

NIKODIMOS PAVLOPOULOS

# SLUJBA SF.IERARH EUSTRATIE, ARHIEPISCOPUL MITHIMNEI LESBOSULUI

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 11 ΟΚΤΩΒΡΙΟΣ
# ΕΥΣΤΡΑΤΙΟΣ ΜΗΘΥΜΝΗΣ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα ἀρχιμ.Νικοδήμου Παυλόπουλου**

## ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ', καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια, δευτεροῦντες αὐτά. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Ὕλην βδελυξάμενος, τὴν τῷ Θεῷ ἀπωσθεῖσαν, Εἰκόνα ἐτίμησας, τοῦ Χριστοῦ Εὐστράτιε προσκυνήσας συ, τὸν Σταυρὸν τὸν τίμιον, τῶν Ἁγίων λείψανα, καὶ τοὺς τάφους καὶ τὰ ἄλλα τε, ὅσα ἐφήπτοντο, τοῖς ἐκείνων σώμασιν Ἅγιε, χάριν τε λαμβανόμενος, τοῦ Ἁγίου Πνεύματος παρεδρεύουσαν· ὅθεν σὲ τιμῶμεν, καὶ σὲ νῦν προσκυνοῦμεν ἱερέ, τῆς Ἐκκλησίας ὑπέρμαχε, Ἅγιε Εὐστράτιε.

Ὅλην ἀναθέμενος, Θεῷ τὴν πᾶσαν ἐλπίδα, Αὐτῷ ἠκολούθησας, ἐκ παιδὸς καὶ ἤθλησας παναοίδιμε, Ἅγιε Εὐστράτιε, τῆς Μηθύμνης μέγιστε, Ἱεράρχα καὶ θεσπέσιε, Ἑβδόμης σύνεδρε, ἱερὰς Συνόδου καὶ σύμψηφε, Πατέρων ἰσοστάσιε, τῶν αἱρετιζόντων ὢ κεραυνέ, τῶν εἰκονομάχων, τὰ εἴδωλα βλασφήμως τὰς

σεπτάς, Εἰκόνας φάντων πάλαι ποτέ, ὡς καὶ προτεστάνται νῦν.

Σὲ οὐ διεκώλυε, τῆς τῶν σεπτῶν ἐποπτείας, ὕλης τῆς Εἰκόνος τε, ξύλα τε καὶ χρώματα ὦ Εὐστράτιε, ἀλλὰ ἡ σὴ αἴσθησις, καὶ τὸ σὸν θεόφρον, πνεῦμα ἔβαινον μακάριε, εἰς τὰ οὐράνια, ἔνθα τὸ πρωτότυπον εὕρηται, Εἰκόνας προσεκύνεις δέ, καὶ ἐτίμας Πάτερ θεσπέσιε, καὶ προσεπεκύρους, Βασίλειον κλεινὸν Δαμασκηνόν, οἳ προσεκύνουν τὰ λείψανα, καὶ τὰ θησαυρίσματα.

*Δόξα. Ἦχος πλ. β΄.*

Ὅσιε Πάτερ, Ἑβδόμης Πατὴρ Νικαίας, σὺ γέγονας μετὰ συνάθλων σου, μεθ’ ὧν καὶ ἐπὶ τῆς γῆς ἔσχες καρποὺς τῶν καμάτων σου, τῶν Εἰκόνων ἥρμοσας τὰ θραύσματα, τῶν Πατέρων ἔφθασας τὰ τάγματα, ὧν τὸν τρόπον ἀμέμπτως ἐζήλωσας, παῤῥησίαν ἔχων πρὸς Χριστὸν τὸν Θεόν, Εἰκόνας στήριξον ἐν ταῖς καρδίαις ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. ι'.7)*

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῶ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ

ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. ι'.32)*

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· Στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρός δικαίου οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστης γὰρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ

φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων, καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγῳ αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας. Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μὴ με ἀποδοκιμάσῃς ἐκ παίδων σου, ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τὶ εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. Δ΄. 7-15).*

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικίᾳ γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ

γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἤ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Εἰς τὴν Λιτήν. Ἦχος α΄.*

Τὸν ἀριστέα τῆς πίστεως καὶ τῶν ἔργων ἀνυμνήσωμεν, Εὐστράτιον τὸν ἔνδοξον, τῆς Μηθύμνης τὸν πρόκριτον, τῶν Πατέρων τὸ κλέος, καὶ τῶν Ἀγγέλων τὸ θαῦμα, καὶ τῶν πιστῶν τὸ ἐγκαύχημα· οὗτος γὰρ ἐπεξῆλθε σθεναρῶς κατὰ αἱρετιζόντων, τῶν τὰς Εἰκόνας πατώντων καὶ τὰ λείψανα βλασφημούντων, καὶ ἐκύρωσε τὴν πίστιν, καὶ τὰς Εἰκόνας ἀνύψωσε.

*Ἦχος β΄.*

Τὸν ἀρετῆς φίλον γνήσιον καὶ τὸν τῆς πίστεως στῦλον, Εὐστράτιον τὸν πανθαύμαστον, δεῦτε πιστοὶ ἅπαντες τιμήσωμεν, ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, λέγοντες πρὸς αὐτόν· χαίροις, τῶν Ἀγγέλων συνώνυμε, καὶ τῶν ἀνθρώπων συνόμιλε· χαίροις, ὁ τῆς πίστεως πρόμαχος, καὶ τῶν Πατέρων ὁμόζηλος·

διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ἦχος γ΄.*

Τὸν ἐν Ἑβδόμῃ τῇ ἐν Νικαίᾳ Συνόδῳ εὐθαρσῶς ἀγωνισάμενον ὑπὲρ τῆς τῶν Εἰκόνων προσκυνήσεως, ἅμα καὶ τῶν κολλύβων προσφορᾶς καὶ τελέσεως τῶν ἱερῶν μνημοσύνων, δεῦτε πιστοὶ ἅπαντες τιμήσωμεν ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, Εὐστιράτιον τὸν ἔκλαμπρον, καὶ Μηθύμνης τὸν πρόεδρον· αὐτὸς γὰρ νῦν αἰτεῖται παρὰ Θεοῦ, τὸ μέγα ἔλεος.

*Ἦχος δ΄.*

Τὸν τῆς Μηθύμνης στεῤῥὸν καὶ γεραρὸν ἀρχηγόν, τὸν εὐυσταθῶς τὴν στράταν τὴν στενωπὸν τοῦ Κυρίου ἀρεταῖς βαδίζονται, καὶ Ἐκείνου ποίμνιον ἀκλινῶς καθοδηγοῦντα, εἰς νομὰς σωτηρίους, καὶ εἰς τὰ ὕψη τῶν ἀρετῶν ἀναβιβάζοντα καὶ σώζοντα.

*Δόξα. Ἦχος πλ. α΄.*

Δεῦτε χριστοφόροι λαοί, τὸν τοῦ Χριστοῦ Εἰκόνα φέροντα ἐν τῇ γῇ, τῆς Θεοτόκου ὁμοίως καὶ πάντων τῶν Ἁγίων, Εὐστράτιον τὸν ἔνδοξον, τὸν τῆς Μηθύμνης ἀρχιθύτην ἄμεμπτον, ἐγκωμίοις καταστέψωμεν. Χαίροις, βοῶντες πρὸς αὐτόν, ὦ Εὐστράτιε πάντιμε, ὁ τὰς Εἰκόνας στηλώσας, καὶ τὰ λείψανα προσκυνήσας ἐν τῇ ἁγίᾳ Συνόδῳ σου, πρέσβευε καὶ ὑπὲρ ἡμῶν, τοῦ μορφωθῆναι τὴν Εἰκόνα τοῦ Χριστοῦ, ἐν ταῖς καρδίαις ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Δεῦτε πάντες λαοί, Μηθύμνης καὶ οἱ ἄλλοι, τιμήσωμεν ἐκ πόθου, Εὐστράτιον τὸν θεῖον, Μηθύμνης ἀρχιποίμενα.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Πάντες οἱ συμφοραῖς, τοῦ βίου καὶ τοῖς ἄλλοις, ποικίλοις πειρασμοῖς τε, πεσόντες προσκυνεῖτε, Εὐστράτιον τὸν ἔνδοξον.

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.*

Μέγας ὡς ἀληθῶς, ὁ Κύριος τῆς δόξης, ὁ δοὺς τῇ Ἐκκλησίᾳ, Μηθύμνης ἀρχιθύτην, Εὐστράτιον τὸν ἔνδοξον.

*Δόξα. Ἦχος β΄.*

Δεῦτε εὐφημήσωμεν πάντες τῶν Μηθυμναίων οἱ λαοί, τὸν μέγαν ὑποφήτην τῆς πίστεως καὶ πρόμαχον, τὸν Εὐστράτιον δήπου τὸν ἐν Νικαίας τῇ σεπτῇ καὶ

Οἰκουμενικῇ Συνόδῳ συμμετασχόντα καὶ καθελόντα εἰκονοκλαστῶν τὸ φρύαγμα, τὰς δὲ Εἰκόνας, σὺν Εἰρήνῃ τῇ βασιλίσσῃ, καὶ τοῖς Ἁγίοις Πατράσι ἀναστηλώσαντα.

*Καὶ νῦν. Θεοτοκίον*

Ὢ θαύματος καινοῦ, πάντων τῶν πάλαι θαυμάτων! τίς γὰρ ἔγνω Μητέρα, ἄνευ ἀνδρὸς τετοκυῖαν, καὶ ἐν ἀγκάλαις φέρουσαν, τὸν ἅπασαν τὴν κτίσιν περιέχοντα; Θεοῦ ἐστι βουλὴ τὸ κυηθέν, ὃν ὡς βρέφος Πάναγνε, σαῖς ὠλέναις βαστάσασα, καὶ μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, μὴ παύσῃ δυσωποῦσα ὑπὲρ τῶν σὲ τιμώντων, τοῦ οἰκτειρῆσαι καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τὸν ποιμενάρχην Μηθύμνης Εὐστράτιον ᾄσμασι, τῶν μετὰ πάντων Ἁγίων κηρυχθέντα ἐν δόγμασιν, ὑμνήσωμεν ἐκθύμως οἱ πιστοί, συντόνως ἐν τῇ τούτου ἑορτῇ, καὶ ὡς πλείστας προσδεχθέντες παρ’ αὐτοῦ, εὐεργεσίας θείας ἐκβοήσωμεν· δόξα τῷ σὲ δοξάσαντι Χριστῶ, δόξα τῶ σὲ στεφανώσαντι, δόξα τῷ ἐν ἑβδόμῃ ἱερᾷ Συνόδῳ ἀναδείξαντι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου.

Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α' Στιχολογίαν,*

*Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Ὁ ὑψωθεὶς ἐπὶ τῆς γῆς ἐπαξίως, ἐν τῇ ἀρχαίᾳ τῆς Μηθύμνης καθέδρᾳ, καὶ ἐν Συνόδῳ θριαμβεύσας τῇ σεπτῇ, τῇ Ἑβδόμῃ Ἅγιε, ἐν Νικαίᾳ παμμάκαρ, Ἅγιε Εὐστράτιε, τῶν Πατέρων ἡ δόξα, ἐν οὐρανοῖς ἀγάλλεσαι τανῦν, μετὰ Ἀγγέλων, τῶν ἄνω Δυνάμεων.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε, τᾶς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τὶς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κίνδυνων; Τὶς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Μετὰ τὴν β' Στιχολογίαν,*

*Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Τῆς Μηθύμνης ποιμένα καὶ ἐγκαλλώπισμα, καὶ Πατέρων τὸ κλέος καὶ τὸ ἐγκαύχημα, τὸν Εὐστράτιον πιστοὶ δεῦτε τιμήσωμεν· οὗτὸς γὰρ ἤγειρε φωνήν, ἐν τῇ Συνόδῳ τῇ σεπτῇ, τῇ ἐν Νικαίᾳ κληθείσῃ, καὶ ἤλεγξε τοὺς Ἰσαύρους, τοὺς τὰς Εἰκόνας καθαιρέσαντας.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὴν ταχεῖάν σου σκέπην καὶ τὴν βοήθειαν, καὶ τὸ ἔλεος δεῖξον ἐπὶ τὸν δοῦλόν σου, καὶ τὰ κύματα Ἁγνὴ καταπράϋνον, τῶν ματαίων λογισμῶν, καὶ τὴν πεσοῦσάν μου ψυχήν, ἀνάστησον Θεοτόκε. Οἶδα γὰρ οἶδα Παρθένε, ὅτι ἰσχύεις ὅσα καὶ βούλεσαι.

*Μετὰ τὸν Πολυέλεον,*

*Κάθισμα. Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.*

Τὸν ἀρχιποίμενα Μηθύμνης δεῦτε πάντες, οἱ ἐν Μηθύμνῃ ἀλλαχοῦ τε νῦν οἰκοῦντες, καταστέψωμεν τοῖς κλάδοις τοῖς ἀειθαλέσι· αὐτὸς γὰρ ἐν τῇ Νικαίᾳ ὀρθοτομῶν, τὸν λόγον καθεῖλε πάντας αἱρετικούς, εἰκονοκλάστας καὶ ἅπαντας, τοὺς τὰς Εἰκόνας ἐκποδών, ποιοῦντας καὶ τὰ δόγματα μετὰ ἄλλων ἐστήριξε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὸ προσταχθὲν μυστικῶς, λαβὼν ἐν γνώσει, ἐν τῇ σκηνῇ τοῦ Ἰωσήφ, σπουδῇ ἐπέστη, ὁ Ἀσώματος λέγων, τῇ ἀπειρογάμῳ, ὁ κλίνας τῇ καταβάσει, τοὺς οὐρανούς, χωρεῖται ἀναλλοιώτως, ὅλος ἐν σοί, ὃν καὶ βλέπων ἐν μήτρᾳ σου, λαβόντα δούλου μορφήν, ἐξίσταμαι κραυγάζων σοι· Χαῖρε Νύμφη ἀνύμφευτε.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.*

Εὐαγγέλιον, Ἱεραρχικόν.

Ὁ Ν’ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Ποιμενάρχα ὦ ἡμῶν Εὐστράτιε, ὁ ἐν Συνόδῳ τῇ σεπτῇ τῇ Ἑβδόμῃ τῆς Νικαίας, κυρώσας τὰ δόγματα τῶν Εἰκόνων λειψάνων τε, ἵνα δι’ αὐτῶν ὁδηγούμενοι τὸν ἀσπασμόν, ταῖς Εἰκόσι διδόναι, καὶ τῷ τοῦ Κυρίου προσώπῳ ἀεὶ παῤῥησιάζεσθαι τύχωμεν.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς:*Εὐστράτιον κλεινόν, τῆς Μηθύμνης, γεραίρω. Ν.*

*Ὠδὴ α’. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Εὐστράτιε Πάτερ ὡς Ἀθλητής, παλαίσματα δέχου, ἀθλουμένων ἐν τῇ Μονῇ, Πατρὸς ἡμῶν θείου Ἰγνατίου, καὶ συμμαρτύρησον τούτοις πρὸ βήματος.

Ὑμνοῦμεν Εὐστράτιε γεραρέ, παλαίσματα ἄθλα, καὶ ἀγῶνάς σου ἱερούς, εἰς οὓς ἐπεδόθης μετὰ φόβου, καὶ κατενίκησας Λέοντα βλάσφημον.

Σαινόμενον Πάτερ Εὐστράτιε, σειραῖς ἁμαρτάδων καὶ σφιγγόμενον, θλιβερῶς ἀπάλλαξον τούτων τὸν σὸν δοῦλον, καὶ ὑποστήριξον θείαις πρεσβείαις σου.

*Θεοτοκίον.*

Τεκοῦσαν Σωτῆρά τε καὶ Θεόν, ὑμνῶ Παναγία, καὶ γεραίρω τὸν Σὸν Υἱόν, ψυχῆς μου τὸν θεῖον κυβερνήτην, καὶ παραδίδομαι τούτῳ καὶ πείθομαι.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ῥαντισμῷ σῶν χαρίτων ποιμὴν Μηθύμνης πανάγιε, εὔφρανον καρδίας λαοῦ σου Πάτερ Εὐστράτιε, καὶ ἐκδυσώπησον, τὸν Σὸν Δεσπότην ἐν τάχει, ἵνα νῦν τὴν ἄφεσιν, λάβω πταισμάτων μου.

Ἀποκάθαρον Πάτερ ποιμὴν  Μηθύμνης Εὐστράτιε, σῶμα καὶ καρδίαν οἰκτροῦ σου δούλου πανόσιε, καὶ ἐνδυνάμωσον, ἐμὴν διάνοιαν Πάτερ, μᾶλλον δὲ τὴν θέλησιν, πράττειν τὰ βέλτιστα.

Τυραννοῦντα τὴν σάρκα πνεῦμα ψυχήν τε ἑκάστοτε, ἤλωσον εὐχαῖς σου τρισμάκαρ Πάτερ Εὐστράτιε, ἀπονεκρώσει παθῶνν, καταστολῇ λογισμῶν τε, τῶν παρενοχλούντων με, καὶ συνθλιβόντων με.

*Θεοτοκίον.*

Ἱερεῖς καὶ πολίτας Παρθένε Μῆτερ πανάμωμε, δέξαι ἱκεσίαις ποιμένος Μηθύμνης πάναγνε, τοῦ Εὐστρατίου τρανῶς, ἐν τῇ Ἑβδόμῃ Συνόδῳ, Σοῦ ὑπερμαχήσαντος, ὑπὲρ Εἰκόνων τε.

*Κάθισμα. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.*

Πατέρα στοργῆς κεκτήμεθα Εὐστράτιε, Μηθύμνης λαὸς καὶ πάντες ὦ μακάριε, εὐθαρσῶς προστρέχοντες, ἐπὶ μνήμῃ τῇ θείᾳ σου Ὅσιε,

ἐκλιπαροῦμεν λύτρωσαι ἡμᾶς, τῶν ἐνοχλούντων παθῶν ἀξιάγαστε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Πρεσβεία θερμὴ καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγὴ τοῦ κόσμου καταφύγιον, ἐκτενῶς δεόμεθα, Θεοτόκε Δέσποινα πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα.

*ᾨδὴ δ’. Εἰσακήκοα Κύριε.*

Ὀματώσας Εὐστράτιε, τοὺς εἰκονοκλάστας τοὺς τὰς Εἰκόνας τε, βλασφημοῦντας καὶ τὰ λείψανα, τὴν σὴν ποίμνην φύλαττε ἑκάστοτε.

Ναυαγοῦντα διάσωσον, ταῖς θερμαῖς εὐχαῖς σου Πάτερ Εὐστράτιε, ὡς σωσίβιον προσφέρων μοι, τὴν πιστήν σου μίμησιν πανθαύμαστε.

Κατοικτήρησον Ἅγιε, τοὺς οἰκτροὺς οἰκέτας σου δεομένους σου, καὶ ἀξίωσον σῆς χάριτος, ἐπιδαψιλεύων τὴν συγχώρησιν.

*Θεοτοκίον.*

Λύτρωσαί με πανάμωμε, ἐκ τῶν ἐνοχλούντων παθῶν ἑκάστοτε, καὶ ἀπάθειάν μοι δώρησαι, ἵνα Σὲ δοξάζω ἀπειρόγαμε.

*ᾨδὴ ε’. Φώτισον ἡμᾶς.*

Ἔμπλησον κλεινέ, ὦ Εὐστάτιε πανθαύμαστε, ἐμὴν καρδίαν ἁγίας χαρᾶς, τῆς πηγαζούσης ἐκ τῶν ἔργων τῶν τῆς πίστεως.

Ἴδιον οὐδέν, οὐκ ἠνέσχου ἔχειν Ἅγιε, ὦ Μηθύμνης Εὐστράτιε τρανέ, μεταδίδων τοῖς σοῖς πένησιν ἀείποτε.

Ναίων ἐν χαρᾷ, Παραδείσου ὦ Εὐστράτιε, ἀναφαίρετον παράσχου ἡμῖν, τοῖς ζητοῦσι τὴν σὴν χάριν πανaοίδιμε.

*Θεοτοκίον.*

Ὅλος Σοι ἁγνή, νῦν προσφέρομαι πανάμωμε, καὶ δουλεύω καὶ προσπίπτω Σοι ἀεί, ἵνα τύχω μεσιτείαις Σου ἀπείρανδρε.

*ᾨδὴ στ'. Τὴν δέησιν.*

Νενόσηκα, καὶ κατάκειμαι ὅλως, ἐν τῇ κλίνῃ ἀσθενείας μου Πάτερ, καὶ νῦν λοιπόν, σοὶ προσφεύγω ὦ Πάτερ, τῷ ἰατρῷ τῆς Μηθύμνης ἀοίδιμε, καὶ δέομαι ὡς ὁ λεπρός, ἐλεῆμον Εὐστράτιε πρόφθασον.

Τετύφλωμαι, τῶν παθῶν ἐπηρείᾳ, καὶ ἐσκλήρυνα ψυχὴν καὶ καρδίαν, Πάτερ κλεινέ, ὦ Εὐστράτιε μέγα, ἀρχιποιμὴν τῆς Μηθύμνης μακάριε· διὸ καὶ δέομαί σοι νῦν, σαῖς πρεσβείαις ὀμμάτωσον δοῦλόν σου.

Ἠμέλησα, εὐπρεπίσαι ψυχῆς μου, τὴν οἰκίαν ἀρεταῖς ταῖς ἐξ ἔργων, καὶ ῥυπαρός, περιφέρομαι ἤδη, καὶ τῆς ἀρούρης τὸ ἄχθος γεγένημαι· διὸ προσπίπτω Σοι θερμῶς, ὦ Εὐστράτιε κάθαρον δέομαι.

*Θεοτοκίον.*

Σεσίγηκέ μου τὰ χείλη Παρθένε, καὶ τὴν πίστιν οὐκ ἐστήριξας ὅλως, ἀλλὰ τῇ Σῇ, μητρικῇ ἀγαπήσει, τὴν βδελυρὰν ἁμαρτίαν μὴ στήσῃς μου, ἵν' εὕρω χρόνον καὶ καιρόν, ἐκκηρύξαι τὴν πίστιν οὐδέποτε.

*Κοντάκιον. Ἦχος δ΄. Προστασία τῶν Χριστιανῶν.*

Πρέσβυν μέγαν καὶ θεῖον κεκτήμεθα, Μηθυμναῖοι Εὐστράτιε Ἅγιε, τῶν πατέρων ἐν Νικαίας τῇ Συνόδῳ σὺ φανείς, τῇ Ἑβδόμῃ σύμψηφός τε καὶ ὁμόψυχος κλεινέ, καὶ Εἰκόνων ὑπέρμαχος, καὶ ἱερῶν λειψάνων καὶ ἱερῶν κειμηλίων· δι' ὧν παρέχεται ἡμῖν, θεία χάρις παρεδρεύουσα.

*Ὁ Οἶκος.*

Ἐν Νικαίας τῇ Συνόδῳ τῇ Ἑβδόμῃ, ἐν ᾗ πάντες οἱ Πατέρες συνηγμένοι, ὤφθησαν εἰκονολάτραις, βασιλεῦσι πυρὶ πνεόντες, πνεύματι ζέοντες, ὤφθη σὺν αὐτοῖς, καὶ ὁ Μηθύμνης ποιμενάρχης ὁ Εὐστράτιος ὁ μέγας, καὶ ἐστήριξε Εἰκόνος τὴν τιμήν τε καὶ λειψάνων σχετικὴν τὴν προσκύνησιν, εἶπε, δι' ὧν παρέχεται ἡμῖν, θεία χάρις παρεδρεύουσα.

*Σ υ ν α ξ ά ρ ι ο ν*

Τῇ ΙΑ' τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶνΕὐστρατίου, Ἀρχιεπισκόπου Μηθύμνης, ἑνὸς τῶν 365 Πατέρων τῆς ἐν Νικαίᾳ ἑβδόμης Οἰκουμενικῆς Συνόδου

*Εἰκόνα τιμῶν Εὐστράτιος καὶ λείψανα,*
*Τὸν κόσμον λιπὼν εἰκόνι οὐ πορεύεται.*
*Δεκάτῃ πρώτῃ, Εὐστράτιος πόλῳ εἰσέβη.*

*ᾨδὴ ζ’. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Μονάζων καὶ κηρύττων ὑπηρέτεις τὸν Λόγον Μηθύμνης Πάτερ κλεινέ, Εὐστράτιε τρισμάκαρ, καὶ μέγα ποιμενάρχα, τῷ ποιμνίῳ σου ἔλεγες· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἡμέτερος προστάτης ἀνεδείχθης καὶ πρέσβυς Πάτερ Μηθύμνης κλεινέ, Εὐστράτιε ποιμνίου, τοῦ σοῦ καὶ ἄλλων πλείστων, δεομένων σοι Ἅγιε, ὁ τῶν Πατέρων βοῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεούμενος καθ’ ἦμαρ καθ’ ὕπαρ τε ταῖς θείαις καὶ ἱεραῖς ἀρεταῖς, Εὐστράτιε παμμάκαρ, καὶ θεῖε πρωτοστάτα, τοῦ ποιμνίου σου ἔκραζες· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Ὑμνῶ μονογενῆ Σου Υἱόν τε καὶ Σωτῆρ Μῆτερ Χριστοῦ τοῦ Θεοῦ, καὶ τούτῳ νῦν προστρέχω, καὶ Σοὶ τῇ Παναγίᾳ, ἐκ ψυχῆς μου δεόμενος· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*ᾨδὴ η’. Τὸν Βασιλέα.*

Μετὰ Πατέρων, τῆς Ἑβδόμης Συνόδου, τὰς Εἰκόνας ὑπερήσπισας Πάτερ, ταύταις ἀπονέμων, προσκύνησιν τρισμάκαρ.

Νόμου γραφέντος, τῆς τιμῆς τῶν λειψάνων, προσυπέγραψας Εὐστράτιε μάκαρ, μετὰ τῶν Πατέρων, ἐστήλωσας δ’ Εἰκόνας.

Ἥμαρτον Πάτερ, ὦ Εὐστράτιε μέγα, κατενώπιον Χριστοῦ τοῦ Θεοῦ μου, καὶ ἐκδυσωπῶ σε, δοῦναί μοι σωτηρίαν.

Σαίνομαι Πάτερ, ὦ Εὐστράτιε μέγα, τοῖς κακοῖς μου ἁμαρτήμασι καὶ νῦν κλαίω, καὶ προσπίπτω εὐστάθειαν σὺ δός μοι.

Γῆ καὶ σποδός, νῦν ὑπάρχων ὦ θεῖε, τῆς Μηθύμνης ὦ Εὐστράτιε Πάτερ, σοὶ νῦν καταφεύγω, τὴν χάριν σου τοῦ δοῦναι.

*Θεοτοκίον.*

Ἔτεκες Μῆτερ, Σὸν Υἱὸν καὶ Σωτῆρα, οἰκουμένης τε καὶ πάντων ἀνθρώπων· ὅθεν Σὲ τιμῶμεν, αἰτούμενοι πρεσβείαν.

*ᾨδὴ θ'. Κυρίως Θεοτόκον.*

Ῥεόντων τῶν τοῦ βίου, ἀπάλλαξον σὺ Πάτερ, καὶ καταξίωσον πράττειν τὸ τέλειον νῦν, τοὺς Μηθυμναίους καὶ πάντας ἀνθρώπους Ἅγιε.

Ἀγάπην τὴν τελείαν, καὶ πίστιν τὴν ἁγίαν, ἐν τῇ καρδίᾳ μου μόρφωσον Πάτερ κλεινέ, καὶ τὴν ἐλπίδα ἐμφύτευσον τοῖς ἐγκάτοις μου.

Ἰδεῖν τὴν τοῦ Κυρίου, ἰδέαν τὴν τελείαν, καταξίωσον Πάτερ Μηθύμνης ποιμήν, καὶ ἀπεντεῦθεν προγεύεσθαι τὸν Παράδεισον.

Ῥοήν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, καὶ τοὺς ἱδρῶτας τοῦ σώματος ὦ Πάτερ Ἅγιε, ὑπὲρ τῆς πίστεως οὕσπερ πόθῳ ἐξέχυσα.

Ὦ Πάτερ θεοφόρε, Μηθύμνης ποιμενάρχα, νῦν τὸν Θεόν σου ἱκε΄τευε δοῦναι κἀμοί, παμμάκαρ λύσιν καὶ μέγα καὶ θεῖον ἔλεος.

*Θεοτοκίον.*

Νοός μου καὶ καρδίας, ἰδέας καὶ κινήσεις, Σὺ ἐξομάλυνον Μῆτερ Χριστοῦ τοῦ Θεοῦ, καὶ ἐξαγίασον σῶμά μου καὶ διάνοιαν.

*Ἐξαποστειλάριον. Ἦχος δ΄. Γυναῖκες ἀκουτίσθητε.*

Εἰκόνας τὰς ἁγίας τε, καὶ λείψανα ἐστήλωσας, τὴν κατὰ σχέσιν παρέχων, προσκύνησιν Πάτερ θεῖε, καὶ δέχεσθαι χαρίσματα, ἐκεῖσε παρεδρεύοντα, Πνεύματος θείου προσφέρειν, ὑπὲρ νεκρῶν φιλουμένων, μνημόσυνα σὺ ἐξεῖπας.

*Θεοτοκίον.*

Παρθένε παναμώμητε, χρυσοῦν θυμιατήριον, ῥάβδε καὶ στάμνε καὶ βάτε, καὶ ἀλατόμητον ὄρος, ὑπὲρ ἡμῶν νῦν πρέσβευε, τῶν ἐκτενῶς βοώντων σοι, σὺν Εὐστρατίῳ Μηθύμνης, καὶ πᾶσιν ἄλλοις Ἁγίοις, προστάτευσον τὴν σὴν ποίμνην.

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.*

Τῶν οὐρανίων Ταγμάτων σὺ ὡς συνώνυμος, Εὐστράτιε παμμάκαρ, ἐμιμεῖσο Ἀγγέλους, τοὺς καὶ Ἀρχιστρατήγους ἐν οὐρανῷ, καὶ ἐν γῇ συμβαδίζοντας, καὶ τῶν ἀνθρώπων ὡς φύλακες συμπαθεῖς, τοῦ Θεοῦ πληρῶν τὸ θέλημα. *(Δίς)*

Τῶν Μηθυμναίων οἱ δῆμοι νῦν τὸν Εὐστράτιον, κλεινὸν ἀρχιποιμένα, ἐπαινέσωμεν ἅμα, Ἀγγέλοις στρατηγέταις οἳ τὴν κλεινήν, νῆσον Λέσβον φυλάττουσι, καὶ Εὐστρατίῳ συνάμα ἐν οὐρανοῖς, ἐσαεὶ πανηγυρίζουσι.

Τῶν ἐπισκόπων ἀκρότης καὶ τῶν ποιμένων κρηπίς, προσδέδειξαι τρισμάκαρ, ὦ Εὐστράτιε μέγα, ἐν μέσῳ γὰρ Συνόδου σὺ τῆς σεπτῆς, καὶ Ἑβδόμης ἐκήρυξας, τοῦ προσκυνεῖν τὰς Εἰκόνας καὶ ἐσαεί, τοῖς νεκροῖς προσφέρειν κόλλυβα.

*Δόξα. Ἦχος πλ. α΄.*

Ὡς κορυφαῖος ποιμὴν σὺ ἐν τῇ Συνόδῳ προσῆλθες τῇ ἐν Νικαίᾳ, τρανὲ Εὐστράτιε Μηθύμνης, τῇ Ἑβδόμῃ ἐν ᾗπερ ἔτι παρέστησαν τριακόσιοι ἑξήκοντα πέντε Πατέρες, καὶ καθεῖλον τὸν Ἴσαυρον καὶ τὸν Κοπρώνυμον, ἔτι δὲ Θεόφιλον εἰκονομάχον φρυαττόμενον, τὴν δὲ σὴν ψῆφον ἐδίδως καὶ σὺν αὐτοῖς προσυπέγραψας ὅρον τῆς πίστεως· διὸ καὶ ἐγχάραξον τῇ διανοίᾳ ἡμῶν τῶν δογμάτων ἀκρίβειαν, ἵνα εὕρωμεν ἔλεος, πρὸς Χριστοῦ τοῦ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν

κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Τὸν Ἑβδόμης σύνεδρον ἱερόν, Εὐστράτιον θεῖον, καὶ Μηθύμνης τὸν γεραρόν, ποιμένα καὶ ἔνθερμον προστάτην, ἀνευφημήσωμεν πόθῳ τῷ δέοντι.

